ἔχοντας γνώμην τὴν αὑτῶν οἰκοῦντας, τοὺς μὲν ὁμό-
ρους ὄντας Λακεδαιμονίοις, τοὺς δ' ἐγγὺς οἰκοῦντας,
καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους, τοὺς δὲ οὐδὲ τρι-
σχιλίους ὄντας. ἴσασι γὰρ ⟨ἐκεῖνοι⟩ ὅτι, κἂν πολλά- 8
κις εἰς τὴν τούτων ἐμβάλλωσι, πολλάκις αὐτοῖς ἀπαν-
τήσονται ὅπλα λαβόντες, ὥστε οὐ καλὸς αὐτοῖς ὁ κίν-
δυνος δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους ⟨μὴ⟩
καταδουλώσασθαί γε, ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς τῶν
ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι. ὅσῳ δ' ἂν ἄμεινον
πράττωσι, τοσούτῳ ⟨ἧττον⟩ ἐπιθυμοῦσι κινδυνεύειν.
εἴχομεν δέ, ὦ Ἀθηναῖοι, καὶ ἡμεῖς ταύτην τὴν γνώμην, 9
ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βου-
λεύεσθαι περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ
νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι· ἄξιον γὰρ
ἦν ὀλίγων ἀμελοῦντας πολλῶν ἀγαθῶν φείσασθαι. νῦν
δέ, ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ
πατρὶς ἡμῖν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος
ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας. ἀλλὰ γὰρ χρὴ ἀναμνη- 10
σθέντας ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες
ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν,
ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν
γίγνεσθαι, πιστεύοντας μὲν τοῖς θεοῖς καὶ ἐλπίζοντας
κατὰ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσεσθαι. δεινὸν 11
γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγομεν, ἐμαχό-
μεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κατελθόντες δὲ
φευξόμεθα, ἵνα μὴ μαχώμεθα. οὐκ οὖν αἰσχρὸν εἰ εἰς
τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς
τῶν ἄλλων ἐλευθερίας διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ
ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν; . . . . .